τε ἐξέπεμψε καὶ φύλλον Ἰνδικὸν κασίαν τε καὶ τὸν λεγόμενον
κόστον. ὁ δὲ βάρβαρος τὰς Ῥωμαϊκὰς ἀπολαβὼν δωρεάς,
καταρωματισάμενος ἥσθη λίαν περιχαρῶς. γίνεται τοίνυν
ἀπόμαχος μέχρις ὅτου Ῥωμαίοις ἡ δημοτελὴς ἐκείνη καὶ
7 μεγάλη πανήγυρις ἐπεπέραστο. συνηυλίζοντο τοιγαροῦν τὰ
ἀντίθετα, καὶ οὐκ ἦν δέος ἐν ἑκατέραις δυνάμεσιν. οὐκοῦν
ἀποτερματιζούσης τῆς ἑορτῆς ἀγγέλους ὁ Χαγάνος ἐξέπεμψε
fol. 157r διακρίνεσθαι ἀπ' ἀλλήλων ἀξιῶν τὰς δυνάμεις. οὕτω μὲν
οὖν διαχωρίζεται ἀπὸ τῶν Ῥωμαίων ὁ βάρβαρος.
8 Ἑκταῖος δὲ ὁ Χαγάνος, ἐπεὶ ἠκηκόει Κομεντίολον δυνά-
μεις ἀναλαβόμενον μέλλειν τῇ Νικοπόλει προσομιλεῖν, τὸ
ὁπλιτικὸν συλλεξάμενος κατὰ Κομεντιόλου στρατοπεδεύεται.
Κομεντίολος δὲ ἥκειν τὸν Χαγάνον ἀκούσας ἐπὶ τὴν Μυσίαν
9 χωρεῖ ἐπί τε Ζικίδιβα τὰς σκηνὰς συνεπήξατο. ἑβδομαῖος
δὲ εἰς Ἰατρὸν ἀφικνεῖται τὴν πόλιν. ὁ δὲ βάρβαρος εἴκοσι
παρασάγγας ἀφεστήκει Ῥωμαίων. νυκτὸς δὲ μεσούσης ἐν
ἀπορρήτῳ πρὸς τὸν Χαγάνον ὁ τῶν Ῥωμαίων στρατηγὸς
295 B ἐξέπεμψεν ἄγγελον. εἶτα τὸ Ῥωμαϊκὸν προσέταξεν ἐξοπλί-
σασθαι, ὡς ἐκ τοῦ παρήκοντος τὸν λόγον ποιούμενος· οὐ
10 γὰρ ἔφησε Ῥωμαίοις ἐξ ἑωθινοῦ ποιήσασθαι παράταξιν. οἱ
μὲν οὖν Ῥωμαῖοι οὐ πολέμου χάριν ὑποτοπήσαντες ὁπλο-
φορεῖν προστάξαι τούτοις τὸν στρατηγόν, τοῖς σιδηρείοις
χιτῶσι τὰ περιστέρνια φράττουσιν· ἐδόκει γὰρ αὐτοῖς ἐξέτασιν
11 τοῦ ὁπλιτικοῦ ποιήσασθαι ἐθέλειν τὸν στρατηγόν. τὰς ἀκτῖνας
τοίνυν ἡλίου περιβαλόντος τῇ γῇ, ὁρῶσιν οἱ Ῥωμαῖοι μετ'
εὐκοσμίας συντεταγμένον τὸν βάρβαρον, τήν τε ἔκταξιν κατ'